55

Ἐκεῖνος μὲν γὰρ ἑαυτῷ κατασκευαζόμενος δόξαν καὶ μεγάλα
ἀγαθά, ἅπαντα καθ' ὑμῶν πράττει· ὅσοι δ'
Ἀθηναῖοι ὄντες, μὴ τῇ πατρίδι, ἀλλὰ Φιλίππῳ
εὔνοιαν ἐνδείκνυνται, προσήκει αὐτοὺς ὑφ' ὑ-
μῶν κακῶς ἀπολωλέναι, εἴπερ ὑμεῖς τὸν ἐγκέ-
φαλον ἐν τοῖς κροτάφοις καὶ μὴ ἐν ταῖς πτέρναις
καταπεπατημένον φορεῖτε. ὑπόλοιπον μοι
ἐστὶν εἰπεῖν· πρὸς ταύτην τὴν ἐπιστολὴν τὴν εὐέχομεν
καὶ τοὺς λόγους τοὺς τῶν πρέσβεων, γράψαι τὴν ἀπόκρι-
σιν, ἣν ἡγοῦμαι δικαίαν εἶναι καὶ συμφέρουσαν
ὑμῖν: περὶ τῶν ἐν Χερρονήσῳ ὑπόθεσις:

Λόγος οὗτος ὑπὲρ Διοπείθους εἴρηται, καὶ τῶν ἐκεῖ
παρ' Ἀθηναίοις κατηγορηθέντων. τὴν μὲν γὰρ Χερρόνησον
ἣ πρὸς Θρᾴκην, τὸ Ἀθηναίων κτῆμα ἀρχαῖον· ὡς ὁ
ταύτην ἀπέστη λαβὼν κατὰ τοὺς Φιλίππου καιρούς -
κληρούχους ἑαυτοῦ· ἔθος δὲ ἦν τοῦ τε παλαιοῦ δῆμος
Ἀθηναίοις, ὅσοι πένητες ἦσαν αὐτῶν καὶ ἀκτήμονες
οἴκοι, τούτους πέμπειν ἐποίκους εἰς τὰς ἔξω
πόλεις τὰς ἑαυτῶν· καὶ ἐλάμβανον ὅπλα παρὰ τοῦ -
δημοσίου καὶ ἐφόδιον· καὶ νῦν τοῦτο
γέγονε· καὶ πεπόμφασιν ἐποίκους
εἰς τὰς Χερρονήσου, στρατηγὸν αὐτοῖς δόντες.
Διοπείθη. οἱ μὲν οὖν ἄλλοι Χερρονησῖται, τὸ

ιέ